**0295-0373 - Athanasius Alexandrinus - Magnus - Homilia in illud Nunc anima mea**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2035 122 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Homilia in illud: Nunc anima mea turbata est

[00001] [26.1240] Τῆς ὁμοιώσεως τοῦ Κυρίου τῆς πρὸς ἡμᾶς ἡ ὠφέλεια μεγάλη, ὅτι καὶ ἡμεῖς ὁμοιούμεθα πρὸς αὐτόν.

[00002] Εἰ γὰρ μὴ αὐτὸς ὡμοίωτο πρὸς ἀνθρώπους, οὐκ ἠδύναντο οἱ ἄνθρωποι ὁμοιοῦσθαι πρὸς Θεόν.

[00003] Ἀλλὰ πρὸς Θεὸν ἄνθρωπον γενόμενον ὁμοιοῦνται ἄνθρωποι.

[00004] Ἔδει δὲ τὸν εἰς ὁμοίωσιν ἡμῶν καταβαίνοντα, κατὰ τοῦτο μάλιστα ὁμοιωθῆναι, καθ' ὃ μεταβολῆς ἐδεό [26.1241] μεθα.

[00005] Ἐδεόμεθα δὲ κατὰ τὰ πάθη, ἵνα ταῦτα εἰς ἀπάθειαν μεταστῇ.

[00006] Μηδεὶς δὴ ἀπιστείτω περὶ τῶν παθῶν οἰόμενος τρέπεσθαι τὴν θεότητα, ἀλλὰ προσγενόμενον αὐτῇ τὸ πάθος ἀπὸ τοῦ σαρκικοῦ καὶ ψυχικοῦ κινήματος ἐνθυμείσθω, καὶ προσγινόμενον καὶ νικώμενον.

[00007] Διὰ γὰρ τοῦτο προσγέγονεν, ἵνα νικηθῇ·

[00008] καὶ ἀπὸ τούτου νενίκηται, ἵνα ἡ πᾶσα ἀνθρώπων φύσις κατὰ τὸ συγγενὲς εὐεργετηθῇ.

[00009] Ἐκεῖθεν γὰρ ἀρξάμενοι μετασχηματιζόμεθα πάντες ἐκ πασχόντων ἀπαθεῖς, καὶ ἀπὸ νεκρῶν ζῶντες καθιστάμενοι.

[00010] Μὴ οὖν ταραττέσθω τις εἰς ἀπιστίαν, εἰ λέγει Θεὸς ὢν ὁ Κύριος ἅμα καὶ ἄνθρωπος·

[00011] Νῦν ἡ ψυχή μου τετάρακται.

[00012] Τοῦτο γὰρ ἐγένετο, τῆς μὲν θεότητος εἰκούσης, τῆς δὲ σαρκὸς ἐγειρομένης·

[00013] δυνατὸν ὂν τῇ θεότητι κωλῦσαι τὴν ταραχὴν, ἀλλ' οὐ βουλομένης αὐτῆς, ἵνα μὴ τὴν ὁμοίωσιν τὴν πρὸς ἡμᾶς διαλύσῃ.

[00014] Τοιοῦτο δή τι νοητέον ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων·

[00015] κεκραμένον μέλι πρὸς ὕδωρ, οὐ δὴ τὸ μέλι μεταβέβληται, ἀλλὰ τὸ ὕδωρ ἐπλεόνασεν.

[00016] Ὅτε δὴ κίνημά τι τῆς σαρκός ἐστιν ἐν τῷ Κυρίῳ, τοιοῦτό τι λάβωμεν ὁμοίωμα, ὥσπερ ὕδατος ἐν μελικράτῳ πλεονασμόν.

[00017] Ὅταν δὲ πάλιν τὸ θεϊκὸν ἐμφαίνηται, καὶ ἐνεργῇ δυνάμεις, καὶ δείκνυσι τὴν ἐξουσίαν, τοιαύτην ὁμοίωσιν λάβωμεν, ὥσπερ τοῦ μέλιτος ἐπικρατοῦντος τὸ ὕδωρ.

[00018] Δυνατὸν γὰρ τῇ θεότητι τοῦτο, ποτὲ μὲν τῇ σαρκὶ παραχωρεῖν εἰς τὸ πλεονάσαι, ποτὲ δὲ αὐτὴν ἐπικρατῆσαι ἀναιροῦσαν τὸ πάθος καὶ τὸ τῆς σαρκὸς ἀσθενές.

[00019] Τεκμήριον δὲ τεσσαράκοντα ὅλας ἡμέρας ἀπέχεται τροφῆς σωματικῆς καὶ οὐ πεινᾷ τὸ σῶμα.

[00020] Μετὰ γὰρ ταῦτα, καθὼς γέγραπται, πεπείνακεν.

[00021] Ἐνταῦθα σαρκὸς πλεονασμός·

[00022] εἶτα ἐπείνασε μετὰ τὸν τοσοῦτον χρόνον.

[00023] Ἐπλεόνασε τὸ τῆς σαρκὸς διὰ τοῦτο, ἵνα καὶ πεῖρα προσενεχθῇ, καὶ ὁ πειράζων καταισχυνθῇ, καὶ ὁ ἐξ ἀρχῆς ἄνθρωπος διὰ βρῶμα πεσὼν δι' ἐγκράτειαν βρώματος ἀναστῇ.

[00024] Φέρει δὲ καὶ τὴν ταραχὴν τῆς σαρκὸς ἐπὶ τῷ θανάτῳ προσιόντι.

[00025] Καὶ πῶς γὰρ ἔμελλεν ὑπήκοος γενέσθαι τὴν ἡμετέραν ὑπακοὴν πληρῶν ἀνθ' ἡμῶν, εἰ μὴ καὶ προσεναντίωμα ἔσχε, καὶ τοῦ ἐναντιώματος ἐπεκράτησεν;

[00026] Ἡμῖν γὰρ ἐπειδάν τι ἐκ σαρκὸς ἐναντίωμα γένηται, εἰ παρακούσαιμεν τοῦ προστάγματος, νικηθέντες σαρκὶ, τοῦτον τὸν τρόπον ἡ ἁμαρτία συμβαίνει.

[00027] Οὐκοῦν ἐν τῷ Κυρίῳ τὸ μὲν ἐναντίωμα ἔδει γενέσθαι τὸ ἀπὸ τῆς σαρκός, νικῆσαι δὲ τὴν ὑπακοήν.

[00028] Εἰ γὰρ καὶ Θεὸς, ἀλλ' ἐν σαρκὶ καὶ κατὰ σάρκα τὴν ὑπακοὴν πληροῖ, καὶ τοῦ θελήματος τῆς σαρκὸς τῷ θελήματι τῆς θεότητος κρατεῖ, καθάπερ εἴρηκεν·

[00029] Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρὸς, ἴδιον λέγων θέλημα αὐτοῦ τὸ τῆς σαρκός.

[00030] Ἐπεὶ καὶ ἡ σὰρξ ἰδία αὐτοῦ γέγονεν·

[00031] οὐ γάρ ἐστι θέλημα Υἱοῦ θεϊκὸν θελήματος Θεοῦ κεχωρισμένον.

[00032] Ἔδει δὲ τὸ τῆς σαρκὸς θέλημα κινηθῆναι, ὑποταγῆναι δὲ τῷ θελήματι τῷ θεϊκῷ.

[00033] Καὶ οὕτως αἱ τῶν ἀνθρώπων παρακοαὶ λύονται διὰ τῆς παραδόξου ταύτης ὑπακοῆς, ἣν Χριστὸς ὑπήκουσεν [26.1244] ὑπὲρ ἡμῶν.

[00034] Ὅρα δὴ, τοῦ κινήματος τοῦ σαρκικοῦ γενομένου, τί φησι·

[00035] Καὶ τί εἴπω;

[00036] Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης.

[00037] Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.

[00038] Πάτερ, δόξασόν σου τὸ ὄνομα.

[00039] Τὸ, Τί εἴπω;

[00040] Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης, ἐφθέγξατο κατὰ τὴν κίνησιν τῆς σαρκός·

[00041] τὸ, διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην, θεότητος ὑπερνικώσης φθέγγεται, σχεδόν τοι μηδὲ φανῆναι τῷ σαρκικῷ θελήματι συγχωροῦντος τοῦ θεϊκοῦ.

[00042] Τὸ γὰρ, Τί εἴπω;

[00043] ὥσπερ ἐγκόπτοντός ἐστι ῥῆμα, ὡς φανῆναι μὲν ἡμῖν, ὅτι καὶ σὰρξ ἀληθὴς, ὑποταττομένη δὲ, καὶ οὐ δυναμένη περισπᾶσαι, καθάπερ ἵππος τὸν ἐπιβάτην, οὐδὲ ὅσον ὀκλάσαι τὴν χεῖρα τὴν ἡνιοχοῦσαν.

[00044] Καὶ δὴ καὶ τί λογίζεται τὸ πάθος;

[00045] Οὐκ ἀδοξίαν, οὐκ αἰσχύνην, ἀλλὰ δόξαν ἑαυτοῦ καὶ τοῦ Πατρός.

[00046] Καὶ ἐπισπεύδει μᾶλλον, ἢ ἀποτρέπει τὸ πάθος.

[00047] Πάτερ, δόξασόν σου τὸ ὄνομα·

[00048] οὐκ ἔσται, φησὶν, οὐδεμία παραίτησις παρ' ἐμοῦ, ἀλλ' εἴξει τὸ παραιτούμενον, καὶ κρατήσει τὸ μὴ παραιτούμενον.

[00049] Σαρκικὴ μὲν γὰρ φύσις παραιτεῖται τὸν θάνατον, καὶ ἦν τοῦτο ἐν Χριστῷ, ἐπειδὴ καὶ γέγονε σὰρξ ὁ Λόγος ἀληθῶς·

[00050] θεϊκὴ δὲ βούλησις αἱρεῖται τὴν κόσμου σωτηρίαν, ἣν ὁ θάνατος κατειργάσατο.

[00051] Εἶτα πληρούμενον φαίνεται τὸ, Ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με.

[00052] Λέγει ὁ Χριστός·

[00053] Πάτερ, δόξασόν σου τὸ ὄνομα·

[00054] καὶ ἀπόκρισις ἐξ οὐρανοῦ·

[00055] Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω·

[00056] ἵνα εἰδῶμεν, ὅτι διάστασις οὐδεμία, οὐδὲ χωρισμὸς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ·

[00057] μᾶλλον δὲ ἵνα κερδάνωμεν τὴν συνάφειαν ἡμῶν τὴν πρὸς Θεὸν ἐν Χριστῷ γενομένην.

[00058] Οὐδεὶς μὲν γὰρ ἀνθρώπων, ὃς οὐκ ἀπέσπασεν ἑαυτὸν ἀπὸ θελήματος Θεοῦ κατά τι μέρος ἢ πράγματος ἢ χρόνου.

[00059] Ἐν μόνῳ δὲ Χριστῷ τὸ ἀχώριστον τῆς θελήσεως ἐφυλάχθη·

[00060] ᾧ συνακολουθοῦντες κερδαίνομεν τὴν συνάφειαν τὴν πρὸς Θεὸν, καὶ τὴν ἕνωσιν τὴν σωτήριον καθ' ὁμοίωσιν αὐτοῦ, καθ' ὁμοίωσιν τῆς θείας ἑνώσεως, ὡς αὐτὸς εἴρηκεν·

[00061] Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, οὕτω καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν.

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0295-0373 - Athanasius Alexandrinus - Magnus - Homilia in illud Nunc anima mea**

**Litterarum Omnium Conspectus: 106 Litterae, quae repetitae sunt in 3,855 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 311 | Α | 0913 | 0 |
| β | 0946 | 14 | Β | 0914 | 0 |
| γ | 0947 | 53 | Γ | 0915 | 0 |
| δ | 0948 | 66 | Δ | 0916 | 0 |
| ε | 0949 | 200 | Ε | 0917 | 3 |
| ζ | 0950 | 4 | Ζ | 0918 | 0 |
| η | 0951 | 58 | Η | 0919 | 0 |
| θ | 0952 | 83 | Θ | 0920 | 8 |
| ι | 0953 | 166 | Ι | 0921 | 0 |
| κ | 0954 | 143 | Κ | 0922 | 10 |
| λ | 0955 | 74 | Λ | 0923 | 2 |
| μ | 0956 | 135 | Μ | 0924 | 3 |
| ν | 0957 | 314 | Ν | 0925 | 1 |
| ξ | 0958 | 17 | Ξ | 0926 | 0 |
| ο | 0959 | 233 | Ο | 0927 | 3 |
| π | 0960 | 121 | Π | 0928 | 9 |
| ρ | 0961 | 164 | Ρ | 0929 | 0 |
| ς | 0962 | 140 | • | 0930 | 0 |
| σ | 0963 | 140 | Σ | 0931 | 1 |
| τ | 0964 | 326 | Τ | 0932 | 8 |
| υ | 0965 | 36 | Υ | 0933 | 2 |
| φ | 0966 | 15 | Φ | 0934 | 1 |
| χ | 0967 | 24 | Χ | 0935 | 5 |
| ψ | 0968 | 4 | Ψ | 0936 | 0 |
| ω | 0969 | 50 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 0 | | | 0 |
| ῥ | 8165 | 1 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 50 | έ | 8051 | 47 | ή | 8053 | 17 | ί | 8055 | 42 | ό | 8057 | 50 | ύ | 8059 | 22 | ώ | 8061 | 11 |
| ὰ | 8048 | 35 | ὲ | 8050 | 27 | ὴ | 80852 | 41 | ὶ | 8054 | 50 | ὸ | 8056 | 76 | ὺ | 8058 | 0 | ὼ | 8060 | 3 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 33 | ῖ | 8150 | 13 | | | 0 | ῦ | 8166 | 55 | ῶ | 8182 | 20 |
| ἀ | 7936 | 34 | ἐ | 7952 | 46 | ἠ | 7968 | 1 | ἰ | 7984 | 16 | ὀ | 8000 | 1 | ὐ | 8016 | 29 | ὠ | 8032 | 1 |
| ἁ | 7937 | 1 | ἑ | 7953 | 3 | ἡ | 7969 | 18 | ἱ | 7985 | 5 | ὁ | 8001 | 18 | ὑ | 8017 | 10 | ὡ | 8033 | 3 |
| ἂ | 7938 | 0 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 1 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 2 | ἳ | 7987 | 0 | ὃ | 8003 | 2 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 5 | ἔ | 7956 | 4 | ἤ | 7972 | 0 | ἴ | 7988 | 7 | ὄ | 8004 | 3 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 2 | ἥ | 7973 | 0 | ἵ | 7989 | 9 | ὅ | 8005 | 5 | ὕ | 8021 | 6 | ὥ | 8037 | 7 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 3 | ἶ | 7990 | 2 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 0 | | | 0 | ῃ | 8131 | 1 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 5 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 11 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 12 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - Homilia in illud Nunc anima mea**
**Verborum Omnium Conspectus: 397Verba, quae repetita sunt in 3,950,536 occasionibus**

ἀδοξίαν [00045]
αἱ [00033]
αἱρεῖται [00050]
αἰσχύνην [00045]
ἀληθὴς [00043]
ἀληθῶς [00049]
ἀλλ [00013] [00028] [00048]
ἀλλὰ [00006] [00015] [00029] [00045]
Ἀλλὰ [00003] [00037]
ἅμα [00010]
ἁμαρτία [00026]
ἀναιροῦσαν [00018]
ἀναστῇ [00023]
ἀνθ [00025]
ἄνθρωποι [00002] [00003]
ἄνθρωπον [00003]
ἄνθρωπος [00010] [00023]
ἀνθρώπους [00002]
ἀνθρώπων [00008] [00033] [00058]
ἀπάθειαν [00005]
ἀπαθεὶς [00009]
ἀπέσπασεν [00058]
ἀπέχεται [00019]
ἀπιστείτω [00006]

**ἀπιστίαν** [00010]
**ἀπόκρισις** [00054]
**ἀποτρέπει** [00046]
**ἀρξάμενοι** [00009]
**ἀρχῆς** [00023]
**ἀσθενές** [00018]
**αὐτῇ** [00006]
**αὐτὴν** [00018]
**αὐτῆς** [00013]
**αὐτόν** [00001]
**αὐτὸς** [00002] [00060]
**αὐτοῦ** [00029] [00030] [00060]
**ἀχώριστον** [00059]

**βούλησις** [00050]
**βουλομένης** [00013]
**βρῶμα** [00023]
**βρώματος** [00023]

**γὰρ** [00002] [00007] [00009] [00012] [00018] [00020] [00025] [00026] [00028] [00042] [00049] [00058]
**γάρ** [00031]
**γέγονε** [00049]
**γέγονεν** [00030]
**γέγραπται** [00020]
**γενέσθαι** [00025] [00027]
**γένηται** [00026]
**γενομένην** [00057]
**γενόμενον** [00003]
**γενομένου** [00034]

**δὲ** [00004] [00005] [00012] [00017] [00018] [00019] [00024] [00027] [00032] [00032] [00043] [00050] [00057] [00059]
**δείκνυσι** [00017]
**δὴ** [00006] [00015] [00016] [00034] [00044]
**δή** [00014]
**δι** [00023]
**Διὰ** [00007]
**διὰ** [00023] [00023] [00033] [00037] [00041]
**διαλύσῃ** [00013]
**διάστασις** [00056]
**δόξαν** [00045]
**δόξασόν** [00038] [00047] [00053]
**δοξάσω** [00055]
**δυνάμεις** [00017]
**δυναμένη** [00043]
**Δυνατὸν** [00018]
**δυνατὸν** [00013]

**ἑαυτὸν** [00058]
**ἑαυτοῦ** [00045]
**ἐγειρομένης** [00012]
**ἐγένετο** [00012]
**ἐγκόπτοντός** [00043]
**ἐγκράτειαν** [00023]
**Ἐγὼ** [00061]
**ἔδει** [00027]
**Ἔδει** [00004] [00032]
**ἐδεό** [00004]
**Ἐδεόμεθα** [00005]
**ἐδόξασα** [00055]
**Εἰ** [00002] [00028]
**εἰ** [00010] [00025] [00026]
**εἰδῶμεν** [00056]
**εἰκούσης** [00012]
**εἴξει** [00048]
**εἴπω** [00035] [00039] [00042]
**εἴρηκεν** [00028] [00060]
**εἰς** [00004] [00005] [00010] [00018] [00037] [00041]
**Εἶτα** [00051]
**εἶτα** [00022]
**ἐκ** [00009] [00014] [00026] [00029] [00036] [00040]
**Ἐκεῖθεν** [00009]
**ἔμελλεν** [00025]
**ἐμὸν** [00029]
**ἐμοῦ** [00048]
**ἐμφαίνηται** [00017]
**ἐν** [00016] [00016] [00027] [00028] [00049] [00057] [00061]
**ἓν** [00061]
**ἕν** [00061]
**Ἐν** [00059]
**ἐναντίωμα** [00026] [00027]
**ἐναντιώματος** [00025]
**ἐνεργῇ** [00017]
**ἐνθυμείσθω** [00006]
**Ἐνταῦθα** [00021]
**ἑνώσεως** [00060]
**ἕνωσιν** [00060]
**ἐξ** [00023] [00054]
**ἐξουσίαν** [00017]
**Ἐπεὶ** [00030]
**ἐπειδάν** [00026]
**ἐπειδὴ** [00049]
**ἐπείνασε** [00022]
**ἐπεκράτησεν** [00025]
**ἐπὶ** [00024]
**ἐπιβάτην** [00043]
**ἐπικρατῆσαι** [00018]
**ἐπικρατοῦντος** [00017]
**ἐπισπεύδει** [00046]
**Ἐπλεόνασε** [00023]
**ἐπλεόνασεν** [00015]
**ἐσμεν** [00061]
**ἔσται** [00048]
**ἐστι** [00031] [00043]
**ἐστιν** [00016]
**ἔσχε** [00025]
**εὐεργετηθῇ** [00008]
**ἐφθέγξατο** [00040]
**ἐφυλάχθη** [00059]

**ζῶντες** [00009]

**ἡ** [00001] [00008] [00011] [00026] [00030]
**ἢ** [00046] [00058] [00058]
**ἠδύναντο** [00002]
**ἦλθον** [00037] [00041]
**ἡμᾶς** [00001] [00013] [00014]
**ἡμεῖς** [00001]
**ἡμέρας** [00019]
**ἡμετέραν** [00025]
**ἡμῖν** [00043] [00061]
**Ἡμῖν** [00026]
**ἡμῶν** [00004] [00025] [00033] [00057]
**ἣν** [00033] [00050]
**ἦν** [00049]
**ἡνιοχοῦσαν** [00043]

**θάνατον** [00049]
**θάνατος** [00050]
**θανάτῳ** [00024]
**θείας** [00060]
**θέλημα** [00029] [00029] [00029] [00031] [00032] [00051]
**θελήματι** [00028] [00032] [00041]
**θελήματος** [00028] [00031] [00058]
**θελήσεως** [00059]
**Θεὸν** [00003] [00057] [00060]
**Θεόν** [00002]
**Θεὸς** [00010] [00028]
**θεότητα** [00006]
**θεότητι** [00013] [00018]
**θεότητος** [00012] [00028] [00041]
**Θεοῦ** [00031] [00058]
**θεϊκὴ** [00050]
**θεϊκὸν** [00017] [00031]
**θεϊκοῦ** [00041]
**θεϊκῷ** [00032]

**ἰδία** [00030]
**ἴδιον** [00029]
**ἵνα** [00005] [00007] [00008] [00013] [00023] [00029] [00056] [00057]
**Ἵνα** [00051]
**ἵππος** [00043]

**καθ** [00004] [00014] [00060] [00060]
**καθάπερ** [00028] [00043]
**καθιστάμενοι** [00009]
**καθὼς** [00020]
**καταβαίνοντα** [00004]
**καταβέβηκα** [00029]
**καταισχυνθῇ** [00023]
**κατειργάσατο** [00050]
**κεκραμένον** [00015]
**κερδαίνομεν** [00060]
**κερδάνωμεν** [00057]
**κεχωρισμένον** [00031]
**κινηθῆναι** [00032]
**κίνημά** [00016]
**κινήματος** [00006] [00034]
**κίνησιν** [00040]
**κόσμου** [00050]
**κρατεῖ** [00028]
**κρατήσει** [00048]
**Κύριος** [00010]
**Κυρίου** [00001]
**Κυρίῳ** [00016] [00027]
**κωλῦσαι** [00013]

**λάβωμεν** [00016] [00017]
**Λέγει** [00052]
**λέγει** [00010]
**λέγων** [00029]
**λογίζεται** [00044]
**Λόγος** [00049]
**λύονται** [00033]

**μάλιστα** [00004]
**μᾶλλον** [00046] [00057]
**με** [00029] [00036] [00040] [00051]
**μεγάλη** [00001]
**μεθα** [00004]
**μέλι** [00015] [00015]
**μελικράτῳ** [00016]
**μέλιτος** [00017]
**μὲν** [00012] [00018] [00027] [00043] [00049] [00058]
**μέρος** [00058]
**μεταβέβληται** [00015]
**μεταβολῆς** [00004]
**μεταστῇ** [00005]
**μετασχηματιζόμεθα** [00009]
**μηδὲ** [00041]
**Μηδεὶς** [00006]
**μόνῳ** [00059]
**μου** [00011]

**νεκρῶν** [00009]
**νενίκηται** [00008]
**νικηθέντες** [00026]
**νικηθῇ** [00007]
**νικῆσαι** [00027]
**νικώμενον** [00006]
**νοητέον** [00014]

**Νῦν** [00011]

**ὁ** [00010] [00023] [00023] [00049] [00050] [00052] [00061]
**ὃ** [00004]
**οἱ** [00002]
**οἰόμενος** [00006]
**ὀκλάσαι** [00043]
**ὅλας** [00019]
**ὁμοιούμεθα** [00001]
**ὁμοιοῦνται** [00003]
**ὁμοιοῦσθαι** [00002]
**ὁμοιωθῆναι** [00004]
**ὁμοίωμα** [00016]
**ὁμοιώσεως** [00001]
**ὁμοίωσιν** [00004] [00013] [00017] [00060] [00060]
**ὂν** [00013]
**ὄνομα** [00038] [00047] [00053]
**Ὅρα** [00034]
**ὃς** [00058]
**ὅσον** [00043]
**Ὅταν** [00017]
**Ὅτε** [00016]
**ὅτι** [00001] [00043] [00056]
**Ὅτι** [00029]
**οὐ** [00013] [00015] [00019] [00031] [00043]
**οὐδὲ** [00043] [00056]
**Οὐδεὶς** [00058]
**οὐδεμία** [00048] [00056]
**Οὐκ** [00045]
**οὐκ** [00002] [00045] [00048] [00058]
**Οὐκοῦν** [00027]
**οὖν** [00010]
**οὐρανοῦ** [00029] [00054]
**οὗτοι** [00061]
**οὕτω** [00061]
**οὕτως** [00033]
**οὐχ** [00029]

**πάθη** [00005]
**πάθος** [00006] [00018] [00044] [00046]
**παθῶν** [00006]
**πάλιν** [00017] [00055]
**πάντες** [00009]
**παρ** [00048]
**παραδόξου** [00033]
**παραιτεῖται** [00049]
**παραίτησις** [00048]
**παραιτούμενον** [00048] [00048]
**παρακοαὶ** [00033]
**παρακούσαιμεν** [00026]
**παραχωρεῖν** [00018]
**πᾶσα** [00008]
**πασχόντων** [00009]
**Πάτερ** [00036] [00038] [00040] [00047] [00053]
**Πατὴρ** [00061]
**Πατρὸς** [00029] [00056]
**Πατρός** [00045]
**πεινᾷ** [00019]
**πεῖρα** [00023]
**πειράζων** [00023]
**πέμψαντός** [00029] [00051]
**πεπείνακεν** [00020]
**περὶ** [00006]
**περισπᾶσαι** [00043]
**πεσὼν** [00023]
**πλεονάσαι** [00018]
**πλεονασμόν** [00016]
**πλεονασμός** [00021]
**πληροῖ** [00028]
**πληρούμενον** [00051]
**πληρῶν** [00025]
**ποιῶ** [00029] [00051]
**ποτὲ** [00018] [00018]
**πράγματος** [00058]
**πραγμάτων** [00014]
**πρὸς** [00001] [00001] [00002] [00002] [00003] [00013] [00015] [00057] [00060]
**προσγέγονεν** [00007]
**προσγενόμενον** [00006]
**προσγινόμενον** [00006]
**προσεναντίωμα** [00025]
**προσενεχθῇ** [00023]
**προσιόντι** [00024]
**προστάγματος** [00026]
**πῶς** [00025]

**ῥῆμα** [00043]

**σάρκα** [00028]
**σαρκὶ** [00018] [00026] [00028]
**Σαρκικὴ** [00049]
**σαρκικοῦ** [00006] [00034]
**σαρκικῷ** [00041]
**σαρκὸς** [00012] [00018] [00021] [00023] [00024] [00026] [00027] [00028] [00032]
**σαρκός** [00016] [00029] [00040]
**σὰρξ** [00030] [00043] [00049]
**σου** [00038] [00047] [00053]
**συγγενὲς** [00008]
**συγχωροῦντος** [00041]
**συμβαίνει** [00026]
**συνακολουθοῦντες** [00060]
**συνάφειαν** [00057] [00060]
**σχεδόν** [00041]
**σῶμα** [00019]
**σωματικῆς** [00019]
**σῶσόν** [00036] [00040]
**σωτηρίαν** [00050]
**σωτήριον** [00060]

**τὰ** [00005]
**ταραττέσθω** [00010]
**ταραχὴν** [00013] [00024]
**ταῦτα** [00005] [00020]
**ταύτην** [00037] [00041]
**ταύτης** [00033] [00036] [00040]
**Τεκμήριον** [00019]
**τεσσαράκοντα** [00019]
**τετάρακται** [00011]
**τῇ** [00013] [00018] [00018]
**τὴν** [00006] [00013] [00013] [00013] [00017] [00024] [00025] [00027] [00028] [00037] [00040] [00041] [00043] [00043] [00050] [00057] [00057] [00060] [00060] [00060] [00060]
**Τῆς** [00001]
**τῆς** [00001] [00012] [00012] [00016] [00018] [00023] [00024] [00027] [00028] [00028] [00029] [00032] [00033] [00036] [00040] [00040] [00059] [00060]
**Τί** [00039] [00042]
**τί** [00034] [00035] [00044]
**τι** [00014] [00016] [00016] [00026] [00058]
**τις** [00010]
**Τὸ** [00039] [00042]
**τὸ** [00006] [00008] [00015] [00015] [00017] [00017] [00018] [00018] [00018] [00019] [00023] [00027] [00027] [00029] [00029] [00029] [00029] [00029] [00032] [00038] [00041] [00044] [00046] [00047] [00048] [00048] [00051] [00051] [00053] [00059]
**τοι** [00041]
**τοιαύτην** [00017]
**Τοιοῦτο** [00014]
**τοιοῦτό** [00016]
**τὸν** [00004] [00022] [00026] [00043] [00049]
**τοσοῦτον** [00022]
**τοῦ** [00001] [00006] [00017] [00025] [00026] [00028] [00029] [00029] [00034] [00034] [00041] [00045] [00051] [00056] [00056]
**Τοῦτο** [00012]
**τοῦτο** [00004] [00007] [00018] [00023] [00037] [00041] [00049]
**τοῦτον** [00026]
**τούτου** [00008]
**τρέπεσθαι** [00006]
**τρόπον** [00026]
**τροφῆς** [00019]
**τῷ** [00016] [00024] [00027] [00028] [00032] [00032] [00041]
**τῶν** [00006] [00014] [00033]

**ὕδατος** [00016]
**ὕδωρ** [00015] [00015] [00017]
**Υἱοῦ** [00031] [00056]
**ὑπακοὴν** [00025] [00028]
**ὑπακοήν** [00027]
**ὑπακοῆς** [00033]
**ὑπὲρ** [00033]
**ὑπερνικώσης** [00041]
**ὑπήκοος** [00025]
**ὑπήκουσεν** [00033]
**ὑποταγῆναι** [00032]
**ὑποταττομένη** [00043]

**φαίνεται** [00051]
**φανῆναι** [00041] [00043]
**Φέρει** [00024]
**φησι** [00034]
**φησὶν** [00048]
**φθέγγεται** [00041]
**φύσις** [00008] [00049]

**χεῖρα** [00043]
**Χριστὸς** [00033]
**Χριστός** [00052]
**Χριστῷ** [00049] [00057] [00059]
**χρόνον** [00022]
**χρόνου** [00058]
**χωρισμὸς** [00056]

**ψυχή** [00011]
**ψυχικοῦ** [00006]

**ᾧ** [00060]
**ὡμοίωτο** [00002]
**ὢν** [00010]
**ὥραν** [00037] [00041]
**ὥρας** [00036] [00040]
**ὡς** [00043] [00060]
**ὦσιν** [00061]
**ὥσπερ** [00016] [00017] [00043]
**ὠφέλεια** [00001]